Gesandter.

Mit vollem Mond. Nach Hause kehrt' er dann zurück,
bewirthet' uns und tischt' uns ganze Ochsen auf,
frisch aus dem Ofen.

Dikaeopolis.

Wem kam das schon jemals vor?
im Ofen gebrat'ne Ochsen! o Aufschneiderei!

Gesandter.

Und einen Vogel, ich schwör's euch, wie Kleonymos
dreimal im Umfang — Windehals ward er genannt.

Dikaeopolis.

Ja lauter Wind für deine Drachmen machst du uns.

Küster) *τὸν πρ. συνήγαγε; καί φησι τῇ πανσελήνῳ.* — 85—89 Athenaeus IV 130 F *ὁ Ἀριστ. δ' ἐν Ἀχαρν. καὶ αὐτὸς τῶν βαρβάρων ἐμφανίζων τὴν μεγαλειότητά φησιν εἶτ' ἐξένιζε κτλ.* bis *αὐτῷ φέναξ.* Suid. *κρίβανον . . . καὶ Ἀριστ. εἶτα ἐξένιζε, παρετίθει δ' ἡμῖν Βοῦς* [*καὶ* Med. BE] *κριβανίτας.* (*ὀπτοὺς Ἐκ κριβάνου βοῦς* E marg.) — 86 f. Demetrius *περὶ ἑρμηνείας* (rhett. Gr. ed. Spengel III 298 11) 161 *πᾶσα δὲ ὑπερβολὴ ἀδύνατος, ὡς Ἀ. ἐπὶ τῆς ἀπληστίας τῶν Περσῶν φησιν, ὅτι ὤπτουν βοῦς κριβανίτας ἀντὶ ἄρτων.* Poll. X 110 *καὶ βόες κριβανῖται ἐν Ἀριστοφάνους Ἀχαρνεῦσιν.* — 89 Hesych. Suid. *φέναξ.*

ΠΡΕΣΒΕΥΤΗΣ

καὶ νῦν ἄγοντες ἥκομεν Ψευδαρτάβαν,
τὸν βασιλέως ὀφθαλμόν.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἐκκόψειέ γε
κὀράξ πατάξας τόν τε σὸν τοῦ πρέσβεως.

ΚΗΡΥΞ

ὁ βασιλέως ὀφθαλμός.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὦναξ Ἡράκλεις.
πρὸς τῶν θεῶν ἄνθρωπε ναύφρακτον βλέπεις·
ἢ περὶ ἄκραν κάμπτων νεώσοικον σκοπεῖς;
ἄσκωμ' ἔχεις που περὶ τὸν ὀφθαλμὸν κάτω.

ΠΡΕΣΒΕΥΤΗΣ

ἄγε δὴ σὺ βασιλεὺς ἅττα σ' ἀπέπεμψεν φράσον
λέξοντ' Ἀθηναίοισιν ὦ Ψευδαρτάβα.

ΨΕΥΔΑΡΤΑΒΑΣ

ἰαρταμὰν ἔξαρξας ἀπισσόνα σάτρα.

ΠΡΕΣΒΕΥΤΗΣ

ξυνήκαθ' ὃ λέγει;

ΔΙΚΑΙΟΠΟΛΙΣ

μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.

ΠΡΕΣΒΕΥΤΗΣ

πέμψειν βασιλέα φησὶν ἡμῖν χρυσίον.

λέγε δὴ σὺ μεῖζον καὶ σαφῶς τὸ χρυσίον.

ΨΕΥΔΑΡΤΑΒΑΣ

οὐ λῆψι χρυσὰ χαυνόπρωκτ' Ἰαοναῦ.

---

95 Phot. *ναύφαρκτον βλέπειν. φησὶν ἐπὶ τοῦ περιαθροῦντος καὶ σεμνῶς ἰόντος· πρὸς τῶν Θ. ἄ. ναύφαρκτον β.* Suid. *ναύφρακτον βλέπεις. Ἀριστοφάνης· πρὸς τῶν θεῶν ἄνθρωπε ναύφρακτον (ναύλην* ABVE) *βλέπεις.* cf. *ναύσταθμον.* Hesych. Paroem. I 436 2. —

Gesandter.

Nun haben wir Scheinartabas euch mitgebracht,
des Königs Auge.

Dikaeopolis.

Wollt' es ihm die Krähe doch
aushacken samt dem deinen, des Gesandten hier!

Herold.

Des Königs Auge!

Vierte Scene. Die Vorigen. Scheinartabas von zwei Eunuchen u. a. begleitet, in abenteuerlichem Kostüm. Später Amphitheos.

Dikaeopolis.

Herakles, nun steh' uns bei!
Du siehst ja, Kerl, mit einem wahren Ruderloch;
um Klippen steuernd spähst du nach dem Hafen wohl?
was hängt dir für ein Leder im Gesicht herum?

Gesandter.

Wohlan, vom König richte deine Botschaft aus
an die Gemeinde von Athen, Scheinartabas!

Scheinartabas.

Gesandter.

Versteht ihr seine Worte?

Dikaeopolis.

Bei Apollo, nein.

Gesandter.

Sein Herr der König, sagt er, schickt uns nächstens Gold.

(zu Scheinartabas)

Ich bitte, lauter wiederhol' und deutlich Gold.

Scheinartabas.

Kei Gol bekomme, Schlappschwanz von Iaonau.

---

104 schol. *χρυσοχαννόπρωκτοι — ὡς βάρβαρος δὲ τὸ αὖ ἔφη, δωρικὸν (βαρβαρικὸν O. Schneider) ἀντὶ ἑλληνιζομένου. — τὸ δὲ αὖ ἀντὶ τοῦ οὐ βαρβαρίζων ἔφη.*

ΔΙΚΑΙΟΠΟΛΙΣ

οἴμοι κακοδαίμων ὡς σαφῶς.

ΠΡΕΣΒΕΥΤΗΣ

τί δαὶ λέγει;

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὅ τι; χαννοπρώκτους τοὺς Ἰάονας λέγει,
εἰ προσδοκῶσι χρυσίον ἐκ τῶν βαρβάρων.

ΠΡΕΣΒΕΥΤΗΣ

οὔκ, ἀλλ' ἀχάνας ὅδε γε χρυσίου λέγει.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ποίας ἀχάνας; σὺ μὲν ἀλαζὼν εἶ μέγας.
ἀλλ' ἄπιθ'· ἐγὼ δὲ βασανιῶ τοῦτον μόνος.
ἄγε δὴ σὺ φράσον ἐμοὶ σαφῶς πρὸς τουτουί,
ἵνα μή σε βάψω βάμμα σαρδιανικόν·
βασιλεὺς ὁ μέγας ἡμῖν ἀποπέμψει χρυσίον;

ἄλλως ἄρ' ἐξαπατώμεθ' ὑπὸ τῶν πρέσβεων;

ἑλληνικόν γ' ἐπένευσαν ἄνδρες οὑτοιί,
κοὐκ ἔσθ' ὅπως οὐκ εἰσὶν ἐνθένδ' αὐτόθεν.
καὶ τοῖν μὲν εὐνούχοιν τὸν ἕτερον τουτονὶ
ἐγῷδ' ὃς ἐστι· Κλεισθένης ὁ Σιβυρτίου.
ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε,
τοιόνδε δ' ὦ πίθηκε τὸν πώγων' ἔχων
εὐνοῦχος ἡμῖν ἦλθες ἐσκευασμένος;
ὁδὶ δὲ τίς ποτ' ἐστίν; οὐ δήπου Στράτων;

---

106 schol. ὅτι χαννοπρώκτους. — 108 Poll. X 164 καὶ ὅταν μὲν ἐν Ἀχαρνεῦσιν εἴπῃ Ἀριστοφάνης ἀχάνας χρυσίου. Bekker an. 473 32 (Bachm. I 174) ἀχάνη. μέτρον βοιώτιον πολλῶν τινων μεδίμνων. οὕτως Ἀριστοφάνης. Hesych. ἀχάνας. — 112 Clemens Alex. paed. II 10 108 βάμμα γοῦν σαρδηνιακόν. Suid. βάμμα κυζικηνικόν . . . καὶ ἑτέρα παροιμία, βάμμα σαρδιανικόν (Hesych.) — ἵνα μή σε βάψω βάμμα σαρδινιακόν (Paroem. II 325 5), τουτέστιν ἵνα μή σε ἐρυθρὸν ποιήσω κτλ. cf. Σαρδώ. — 114 Etym. M. 68 37 ἄλλως. σημαίνει τὸ ματαίως· ἄλλως ἄρ' ἠπατήμεθ' ὑπὸ τῶν πρέσβεων Ἀριστοφάνης. Gud. 38

Dikaeopolis.

Das ist infam verständlich.

Gesandter.

Nun was sagt er denn?

Dikaeopolis.

Du fragst? Schlappschwänzig nennt er uns Ionier,
wenn wir uns Hoffnung machen auf Barbarengold.

Gesandter.

Falsch. Tonnen Goldes meint er, überschwappend voll.

Dikaeopolis.

Ja der und Tonnen! du hast fürwahr ein grosses Maul.
Mach dass du fortkommst! ich will jetzt ihn ganz allein
ergründen. (zu Scheinartabas) Sag mir deutlich und nimm dich in Acht,
damit ich nicht dich sardisch roth erst färben muss,
ob wirklich Gold der König uns zu schicken denkt.

(Scheinart. schüttelt den Kopf.)

So haben die Gesandten uns zum Narren bloss?

(Scheinart. und die Eunuchen nicken.)

Auf gut hellenisch haben die Männer hier genickt;
ich will drauf wetten, sie sind ganz gewiss von hier.
Von den Eunuchen ist der eine mir bekannt;
Sibyrtios Sohn ist's, und er nennt sich Klisthenes.
Du hinten glatt geschorner mit dem heissen Blut,
du Affe mit dem wohlbekannten starken Bart,
vor uns zu treten wagst du im Eunuchenkleid?
Und dieser hier? das ist ja Straton offenbar.

---

35 ἄ. ἄρα ἐξηπατούμεθα ὑ. τ. πρεσβυτέρων. schol. ἄ. ἄρ' ἐξηπατώμεθα. — 115 Suid. Zon. I 684 ἑλληνικόν γ' ἐπένευσαν ἄνδρες οὑτοιί. Ἀριστοφάνης. — 116 Suid. αὐτόθεν. ἀντὶ τοῦ ἐντεῦθεν. οὐκ ἔσθ' ὅπως οὐκ εἰσὶν ἐνθάδ' αὐτόθεν. Ἀριστοφάνης Ἀχαρνεῦσι. — 119—122 Suid. Κλεισθένην ὁρῶ .... ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε, Τοιόνδε δὴ πίθηκε κτλ. bis Στράτων; — Στράτων .... Ἀριστοφάνης· ὦ θερμόβουλον ... Τοιόνδε δ' ὦ πίθηκε ... Εὐνοῦχος ἡ. ἦ. ἐξυρημένος; κτλ. bis Στράτων; — 120 schol. τοιόνδ' ὦ πίθηκε.

ΚΗΡΥΞ

σίγα κάθιζε.
τὸν βασιλέως ὀφθαλμὸν ἡ βουλὴ καλεῖ
ἐς τὸ πρυτανεῖον.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ταῦτα δῆτ' οὐκ ἀγχόνη;
κἄπειτ' ἐγὼ δῆτ' ἐνθαδὶ στραγγεύομαι;
τοὺς δὲ ξενίζειν οὐδέποτέ γ' ἴσχει θύρα.
ἀλλ' ἐργάσομαί τι δεινὸν ἔργον καὶ μέγα.
ἀλλ' Ἀμφίθεός μοι ποῦ 'στιν;

ΑΜΦΙΘΕΟΣ

οὑτοσὶ πάρα.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἐμοὶ σὺ ταυτασὶ λαβὼν ὀκτὼ δραχμὰς
σπονδὰς ποίησον πρὸς Λακεδαιμονίους μόνῳ
καὶ τοῖσι παιδίοισι καὶ τῇ πλάτιδι.

ὑμεῖς δὲ πρεσβεύεσθε καὶ κεχήνετε.

ΚΗΡΥΞ

προσίτω Θέωρος ὁ παρὰ Σιτάλκους.

ΘΕΩΡΟΣ

ὁδί.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἕτερος ἀλαζὼν οὗτος ἐσκηρύττεται.

ΘΕΩΡΟΣ

χρόνον μὲν οὐκ ἂν ἦμεν ἐν Θρᾴκῃ πολύν,

---

125 Phavorinus 30 24 *ἀγχόνη.* (Hesych.) . . . *ὡς Ἀριστοφάνης· ταῦτα δῆτ' οὐκ ἀγχόνη.* — 126 Hesych. *στρατεύομαι* (*imo στραγγεύομαι' M. Schmidt*). *διατρίβω.* Suid. *στραγγεύει . . . καὶ στραγγεύομαι. ἀναβάλλομαι, διατρίβω.* — 127 schol. *τούσδε — οὐδέποτ' ἴσχει ἡ θύρα* (Paroem. II 126). Suid. *ἴσχειν — Ἀριστοφάνης φησὶ τοὺς δὲ ξ. οὐδέποτ' ἴσχει γ' ἡ θ.* — 132 Suid. *πλᾶτις — Ἀριστοφάνης*

Herold.

Jetzt schweig' und setz dich!
Zu Tisch entbieten lässt der Rath des Königs Aug'
in's Prytaneum.

(Scheinart. und die Eunuchen ab.)

Dikaeopolis.

Ist das nicht zum Hängen gleich?
sollt' ich noch ferner nutzlos hier die Zeit verthun?
und offne Tafel halten stets die Herrn vom Rath!
Nein, furchtbar werd' ich mich rächen; passt nur auf, ihr Herrn!
Wo nur Amphitheos stecken mag?

Amphitheos.

Hier ist er schon.

Dikaeopolis.

Da nimm acht Drachmen, und für mich, Freund, ganz allein
erwirk' in Sparta Frieden — hörst du? nur für mich,
versteht sich für die Kinder auch und meine Frau.

(Amphitheos ab.)

Ihr aber spielt Gesandte weiter und lasst euch narr'n!

Fünfte Scene. Die Vorigen. Theoros.

Herold.

Tritt vor, Theoros, Bote bei Sitalkes!

Theoros.

Hier!

Dikaeopolis.

Der kündigt gar noch einen Lügenschmied uns an.

Theoros.

Wir hätten wohl in Thrake nicht so lang verweilt —

Ἀχαρνεῦσι καὶ τοῖσι παιδίοισι καὶ τῇ πλάτιδι. — 133 Herodian. apud Choerob. in Theodos. 559 (Bekker an. 1287) *ὅτι εὑρίσκεται χρῆσις τῆς διὰ τοῦ ε γραφῆς, ὡς παρ' Ἀριστοφάνει ἐν Ὄρνισι* (sic) *ὑμεῖς δὲ πρεσβεύετε καὶ κεχήνετε ἀντὶ τοῦ κεχήνατε.* Suid. *κεχήνατε. ἐξαπατᾶσθε, ἔννοοί ἐστε.* (*Cobet* var. lect. 83.) — 135 Suid. *εἰσκηρύττεται. καλεῖται ὑπὸ τοῦ κήρυκος.*

ΔΙΚΑΙΟΠΟΛΙΣ

μὰ Δί' οὐκ ἄν, εἰ μισθόν γε μὴ 'φερες πολύν.

ΘΕΩΡΟΣ

εἰ μὴ κατένιψε χιόνι τὴν Θρᾴκην ὅλην
καὶ τοὺς ποταμοὺς ἔπηξ' ὑπ' αὐτὸν τὸν χρόνον,
ὅτ' ἐνθαδὶ Θέογνις ἠγωνίζετο.
τοῦτον μετὰ Σιτάλκους ἔπινον τὸν χρόνον.
καὶ δῆτα φιλαθήναιος ἦν ὑπερφυῶς
ὑμῶν τ' ἐραστὴς ἦν ἀληθῶς, ὥστε καὶ
ἐν τοῖσι τοίχοις ἔγραφ', Ἀθηναῖοι καλοί.
ὁ δ' υἱός, ὃν Ἀθηναῖον ἐπεποιήμεθα,
ἦρα φαγεῖν ἀλλᾶντας ἐξ ἀπατουρίων,
καὶ τὸν πατέρ' ἠντεβόλει βοηθεῖν τῇ πάτρᾳ·
ὃ δ' ὤμοσε σπένδων βοηθήσειν, ἔχων
στρατιὰν τοσαύτην, ὥστ' Ἀθηναίους ἐρεῖν,
ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται.

ΔΙΚΑΙΟΠΟΛΙΣ

κάκιστ' ἀπολοίμην, εἴ τι τούτων πείθομαι
ὧν εἶπας ἐνταυθὶ σὺ πλὴν τῶν παρνόπων.

ΘΕΩΡΟΣ

καὶ νῦν ὅπερ μαχιμώτατον Θρᾳκῶν ἔθνος
ἔπεμψεν ὑμῖν.

ΔΙΚΑΙΟΠΟΛΙΣ

τοῦτο μέν γ' ἤδη σαφές.

ΚΗΡΤΞ

οἱ Θρᾷκες ἴτε δεῦρ', οὓς Θέωρος ἤγαγεν.

ΔΙΚΑΙΟΠΟΛΙΣ

τουτὶ τί ἐστι τὸ κακόν;

---

137 schol. ἄν γ' εἰ μισθόν γε. — 138—140 Suid. εἰ μὴ κατένιψε τὴν Θρᾴκην χιόνι πολλῇ Καὶ τοὺς π. ἔ. ὑπ' α. τ. χρόνον, Ἡνίκα Θ. ἠγωνίζετο. — ψυχροῦ βίου .... Ἀριστοφάνης Πλούτῳ ... καὶ αὖθις· ἡνίκα Θ. ἠγωνίζετο, κατένιψε τὴν Θ. χιόνι πολλῇ καὶ τοὺς π. ἔπηξεν ὑπ' α. τ. χ. — 144 schol. ἐν τοῖς τοίχοις. Suid. καλοί. Ἀριστοφάνης ἐν τοῖσι τοίχοις ἔγραφον· Ἀθη-

Dikaeopolis.

Gewiss, hätt'st du nicht so viel Geld dabei erschnappt.

Theoros.

wär' nicht ringsum das ganze Land tief eingeschneit,
die Flüsse zugefroren grade dazumal,
als hier Theognis seine traurigen Stücke gab.
Da sass ich mit Sitalkes bei der Flasche fest.
Ich lernt' ihn kennen als den wärmsten Freund Athens
und so für euch begeistert, dass er, wo er stand,
'die Athener lieb' ich' an des Hauses Wände schrieb.
Sein Sohn, den wir zum Bürger dieser Stadt gemacht,
nach Wurst vom Apaturienfest verlangt' er sehr,
und bat den Vater: hilf doch meinem Vaterland!
Und dieser schwor Wein spendend mit so grosser Macht
euch beizuspringen, dass in Athen es heissen soll:
was für ein Schwarm Heuschrecken naht dort unsrer Stadt!

Dikaeopolis.

Hol' mich der Henker, glaub' ich dir von alle dem
den Schwarm Heuschrecken ausgenommen nur ein Wort.

Theoros.

Und jetzt hat er den bravsten Stamm des Thrakervolks
euch zugesandt.

Dikaeopolis.

Ja das versteht sich, ganz gewiss.

Herold.

Die Thraker, die Theoros mitgebracht, heran!

(Eine Anzahl Odomanter mit kleinen Schilden in sehr erbärmlichem Aufzuge.)

Dikaeopolis.

Was ist das für Gesindel?

ναῖοι καλοί. (*καλός* E. *Ἀθηναίοις καλός* ABV.) — 146 Eustath. 300 18 *τὸν μέντοι παρὰ τῷ κωμικῷ ἀλλᾶντα προπερισπᾷ ἐκεῖνος* (sc. Herodianus). Suid. *ἀλλαντοπώλης . . . Ἀριστοφάνης· ἦρα φαγεῖν ἀλλᾶντας ἐξ ἀπατουρίων.* cf. *ἀπατούρια.* — 150 Suid. *πάρνοψ . . . Ἀριστοφάνης . . . καὶ αὖθις ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται.*

ΘΕΩΡΟΣ

Ὀδομάντων στρατός.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ποίων Ὀδομάντων; εἰπέ μοι τουτὶ τί ἦν;
τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακεν;

ΘΕΩΡΟΣ

τούτοις ἐάν τις δύο δραχμὰς μισθὸν διδῷ,
καταπελτάσονται τὴν Βοιωτίαν ὅλην.

ΔΙΚΑΙΟΠΟΛΙΣ

τοισδὶ δύο δραχμὰς τοῖς ἀπεψωλημένοις;

ὑποστένοι μέντἂν ὁ θρανίτης λεὼς
ὁ σωσίπολις.
οἴμοι τάλας ἀπόλλυμαι
ὑπὸ τῶν Ὀδομάντων τὰ σκόροδα πορθούμενος.
οὐ καταβαλεῖτε τὰ σκόροδ';

ΘΕΩΡΟΣ

ὦ μοχθηρὲ σύ,
οὐ μὴ πρόσει τούτοισιν ἐσκοροδισμένοις.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ταυτὶ περιείδεθ' οἱ πρυτάνεις πάσχοντά με
ἐν τῇ πατρίδι καὶ ταῦθ' ὑπ' ἀνδρῶν βαρβάρων;
ἀλλ' ἀπαγορεύω μὴ ποιεῖν ἐκκλησίαν
τοῖς Θρᾳξὶ περὶ μισθοῦ· λέγω δ' ὑμῖν ὅτι
διοσημία 'στί, καὶ ῥανὶς βέβληκέ με.

ΚΗΡΥΞ

τοὺς Θρᾷκας ἀπιέναι, παρεῖναι δ' εἰς ἔνην·
οἱ γὰρ πρυτάνεις λύουσι τὴν ἐκκλησίαν.

---

158 schol. *ἀποτέθρακεν.* Suid. *ἀποτεθρίακεν.* (Hesych. Bekker anecd. 437 7) *Ὀδόμαντες. πέος* (AB*VE Med. ohne *τίς.* — *ἀποτεθρίακε*). Zonaras I 272. schol. Ald. Equ. 1010 *τίς τὸ πέος ἀποτεθρίακεν;* — 160 Hesych. Phot. 135 7 *καταπελτάσονται. καταδραμοῦνται.* Suid. *καταπέλτης . . . καὶ καταπελτάσουσιν ἀντὶ τοῦ ἀκοντίσουσι, καταπολεμήσουσι.* — 162 Suid. *θρανίτης λεώς.* — 163 f. Suid. *σκοροδίοις . . . . καὶ αὖθις ἀπόλλυμαι τὰ σκόροδα πορθούμενος.* — 166 Hesych. *ἐσκοροδισμένος. σκόροδα βεβρωκώς.*

Theoros.

Der Odomanter Heer.

Dikaeopolis.

Ach was Odomanter! sag mir doch, ich bitte dich,
wer hat den Schwanz den Odomantern so gestutzt?

Theoros.

Zwei Drachmen Sold gebt ihnen, und unter ihrem Schild
sinkt ganz Boeotien, ich versichr' euch, in den Staub.

Dikaeopolis.

Zwei Drachmen diesem abgehäuteten Pack! o hört!

(die Barbaren bestehlen ihm seinen Vorrathssack.)

Das würden wohl die Ruderer nicht zufrieden sein,
die Vaterlandserretter.

Ich geschlag'ner Mann!
den Knoblauch haben die Odomanter mir geraubt.
Gebt ihr den Knoblauch gleich heraus?

Theoros.

Narr, hüte dich,
komm ihnen ja zu nahe nicht nach dem Genuss.

Dikaeopolis.

Und ihr Prytanen lasst mich solche Greuelthat
hier in Athen erdulden von Barbarenhand?
Ich thue Einspruch, hier darf nicht die Rede sein
von Sold für diese Thraker; ich erkläre laut,
der Himmel will's nicht, einen Tropfen fühl' ich schon.

Herold.

Die Thraker sind entlassen bis zum dritten Tag;
denn die Prytanen heben die Versammlung auf.

(Alle ab ausser Dikaeopolis.)

Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι παίζει κτλ. Phot. 19 20. Phavorin. 766 22 (Equ. 494). Suid. *ἐσκοροδισμένοις. Ἀριστοφάνης οὐ μὴ πρόσει (προσείσει* BE) *τούτοισιν ἐσκοροδισμένοις.* — 171—173 Suid. *διοσημεία . . . Ἀριστοφάνης διοσημία ἐστί· καὶ ῥανὶς βέβληκέ με. Τοὺς Θρ. ἀπιέναι, παρ. δ' εἰς ἔνην· Οἱ κτλ.* bis *ἐκκλησίαν.* — 171 schol. *διοσημί' ἐστί.* — 172 Suid. *ἔνη. παρεῖναι δ' εἰς ἔνην, οἷον εἰς τρίτην.* Hesych. *εἰς ἔνην.*

ΔΙΚΑΙΟΠΟΛΙΣ

οἶμοι τάλας μυττωτὸν ὅσον ἀπώλεσα.
ἀλλ' ἐκ Λακεδαίμονος γὰρ Ἀμφίθεος ὁδί.
χαῖρ' Ἀμφίθεε.

ΑΜΦΙΘΕΟΣ

μήπω πρὶν ἄν γε στῶ τρέχων.
δεῖ γάρ με φεύγοντ' ἐκφυγεῖν Ἀχαρνέας.

ΔΙΚΑΙΟΠΟΛΙΣ

τί δ' ἔστιν;

ΑΜΦΙΘΕΟΣ

ἐγὼ μὲν δεῦρό σοι σπονδὰς φέρων
ἔσπευδον, οἳ δ' ὥσφροντο πρεσβῦταί τινες
Ἀχαρνικοὶ στιπτοὶ γέροντες πρίνινοι
ἀτεράμονες μαραθωνομάχαι σφενδάμνινοι.
ἔπειτ' ἀνέκραγον πάντες· ὦ μιαρώτατε
σπονδὰς φέρεις τῶν ἀμπέλων τετμημένων;
κἀς τοὺς τρίβωνας ξυνελέγοντο τῶν λίθων,
ἐγὼ δ' ἔφευγον, οἳ δ' ἐδίωκον κἀβόων.

ΔΙΚΑΙΟΠΟΛΙΣ

οἳ δ' οὖν βοώντων. ἀλλὰ τὰς σπονδὰς φέρεις;

ΑΜΦΙΘΕΟΣ

ἔγωγέ φημι· τρία γε ταυτὶ γεύματα.
αὗται μέν εἰσι πεντέτεις· γεῦσαι λαβών.

ΔΙΚΑΙΟΠΟΛΙΣ

αἰβοῖ.

---

174 Suid. μυττωτόν .... οἶμοι τάλας μυττωτὸν ὅσον ἀπώλεσα. Hesych. — 179 Hesych. ὠσφρῶντο. — 180 f. Erotian. p. 332 στερίφνους. πυκνούς. καὶ Ἀριστ. ἐν Ἀχ. φησί· στερι φνοὶ γέροντες περίνινοι ἀτέραμνοι μαραθωνομάχαι καὶ σφενδάμνινοι. Phrynichus Bekkeri anecd. 8 16 ἀτεράμων ἄνθρωπος καὶ πρίνινος καὶ στιπτὸς καὶ σφενδάμνινος. 22 τούτοις προσῆπται Ἀριστοφάνης καὶ τὸ μαραθωνομάχος. Et. M. 714 2 σιπτοί. πυκνοὶ καὶ στερροί. Ἀριστοφάνης. 163 11 ἀτεράμων. ὁ σκληρός. Ἀριστοφάνης· Ἀχαρνικοὶ στιπτοὶ γέρ. ἀτεράμονες. Hes. στιπτός. πυκνὸς ἢ στερεός κτλ. Suid. στιπτοί.

Sechste Scene. Dikaeopolis. Amphitheos kommt von der linken Seite mit Weinkrügen, athemlos.

Dikaeopolis.

Ich ärmster! ach mein schöner Knoblauchsbrei ist hin!
Doch sieh, da kommt Amphitheos schon von Sparta her.
Sei mir gegrüsst!

Amphitheos.

Nicht eh' ich mich verpusten kann,
denn laufen muss ich vor den Acharnern pfeilgeschwind.

Dikaeopolis.

Aus welchem Grunde?

Amphitheos.

Dir zu bringen den Friedenswein
beeilt' ich mich, doch leider rochen ihn sogleich
die Alten von Acharnae, fest wie Eichenholz
und Stein, die hahnebüchnen Helden Marathons.
Einstimmig riefen alle: du verruchtester,
führst Frieden ein, da uns die Weinstöck' umgehau'n?
und füllten sich die Kittel ganz mit Steinen an.
Ich lief davon, doch sie mit lautem Schrei mir nach.

Dikaeopolis.

So lass sie schreien! bringst du wirklich Frieden mit?

Amphitheos.

Nun freilich, ja! drei Proben hast du gleich zur Wahl.
Der hier ist auf fünf Jahre; nimm und kost' ihn nur!

Dikaeopolis.

Pfui Teufel!

ἀντὶ τοῦ πυκνοί. — 181 Suid. *ἀτέραμνον .... ἀτεράμονες, οὐχὶ ἀτέραμνοι .... Ἀριστοφ. Ἀχαρνεῦσι .... ἀτεράμονες μαραθωνομάχοι* (*αι* BE) *σφενδάμνινοι* (*σφενδάμνιοι* E). Zon. I 330. — *σφενδάμνινοι.* Poll. X 35 *Ἀρ. γὰρ ἐν Ἀχ. εἴρηκε σφενδάμνινοι.* Phot. 560 1 *σφενδαμνίνους. τοὺς σκληρούς. Ἀριστοφάνης.* Bekker anecd. 459 3 *ἀτεράμονες .... ἀτερ. μαραθωνομάχαι σφ.* Eustath. 1398 23 *καὶ τὸ σφενδάμνιναι, οὗ ἀρσενικὸν παρὰ τῷ κωμικῷ ἐν τῷ ἄνδρες μαραθωνομάχοι σφ.* *Ruhnken* ad Timae. p. 238. 156.

ΑΜΦΙΘΕΟΣ

τί ἔστιν;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὐκ ἀρέσκουσίν μ', ὅτι
ὄξουσι πίττης καὶ παρασκευῆς νεῶν.

ΑΜΦΙΘΕΟΣ

σὺ δ' ἀλλὰ τασδὶ τὰς δεκέτεις γεῦσαι λαβών.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὄξουσι χαὖται πρέσβεων ἐς τὰς πόλεις
ὀξύτατον ὥσπερ διατριβῆς τῶν ξυμμάχων.

ΑΜΦΙΘΕΟΣ

ἀλλ' αὗταί τοί σοι τριακοντούτιδες
κατὰ γῆν τε καὶ θάλατταν.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὦ Διονύσια,
αὗται μὲν ὄξουσ' ἀμβροσίας καὶ νέκταρος
καὶ μὴ 'πιτηρεῖν σιτί' ἡμερῶν τριῶν,
κἂν τῷ στόματι λέγουσι, βαῖν' ὅποι θέλεις.
ταύτας δέχομαι καὶ σπένδομαι κἀκπίομαι
χαίρειν κελεύων πολλὰ τοὺς Ἀχαρνέας.
[ἐγὼ δὲ πολέμου καὶ κακῶν ἀπαλλαγεὶς
ἄξω τὰ κατ' ἀγροὺς εἰσιὼν Διονύσια.]

ΑΜΦΙΘΕΟΣ

ἐγὼ δὲ φεύξομαί γε τοὺς Ἀχαρνέας.

---

194 Phot. 600 5 *τριακοντούτης — καὶ παρὰ Θουκυδίδῃ* (I 23 4) *αἱ τριακοντούτεις σπονδαὶ εἴρηται. καὶ Ἀριστοφάνης.* Eustath. 340 35 *εἰ καὶ εὕρηται παρὰ τοῖς ὕστερον Ἀττικοῖς θηλυκὸν σύνθεμα ἐκ τοῦ ἔτους εἰς ι λῆγον καὶ διὰ τοῦ δος κλινόμενον, ὡς δηλοῦσι καὶ αἱ τριακοντούτιδες σπονδαί.* schol. Aristid. III 268 7 *τριακοντούτισι.* —

Amphitheos.

Nun? was giebt es?

Dikaeopolis.

Den um keinen Preis!
er schmeckt nach Pech und Flottenrüstung mir zu sehr.

Amphitheos.

So nimm und koste diesen, der zehn Jahre währt.

Dikaeopolis.

Auch der schmeckt herb nach Diplomatenschickerei
und so nach pflichtvergessner Bundsgenossenschaft.

Amphitheos.

Nun denn, zuletzt ist hier der dreissigjährige
Vertrag zu Land und Wasser.

Dikaeopolis.

O Dionysosfest!
der schmeckt fürwahr nach Nektar und Ambrosia,
nicht nach Verproviantirung bis zum dritten Tag,
und auf der Zunge hat er: geh wohin du willst!
Den nehm' ich, davon spend' ich, und ich trink' ihn aus,
und scher' mich um die Acharner im geringsten nicht.
So aller Kriegsnoth ledig denk' ich nun für mich
allein zu feiern Gott Dionysos ländlich Fest.

(geht in sein Haus.)

Amphitheos.

Ich aber will mich retten vor der Acharner Wuth.

(rechts ab.)

---

195 f. Suid. *Διονύσια .... ὦ Διονύσια· Λύται μὲν ὅ. ἀ κ. ν.* — *ὄζουσιν ... αὐταὶ μὲν ὅ. ἀμβροσίης* (Hom. ι 359) *κ. ν.* — 198 schol. *ἄπιθι ὅπου θέλεις.* — 202 schol. *ἄξω* (*αὖξω* Ald.) *κατ' ἀγρούς.* — 203 schol. 1 *ὧν τελευταῖος ἐγὼ δὲ φεύξομαί γε τοὺς Ἀχαρνέας.*

ΧΟΡΟΣ (στροφη)

τῇδε πᾶς ἔπου δίωκε καὶ τὸν ἄνδρα πυνθάνου
τῶν ὁδοιπόρων ἁπάντων· τῇ πόλει γὰρ ἄξιον
ξυλλαβεῖν τὸν ἄνδρα τοῦτον. ἀλλά μοι μηνύσατε,
εἴ τις οἶδ', ὅποι τέτραπται γῆς ὁ τὰς σπονδὰς φέρων.
ἐκπέφευγ', οἴχεται φροῦδος· οἴμοι τάλας τῶν ἐπῶν τῶν ἐμῶν.
οὐκ ἂν ἐπ' ἐμῆς γε νεότητος, ὅτ' ἐγὼ φέρων ἀνθράκων φορτίον
ἠκολούθουν Φαύλλῳ τρέχων, ὧδε φαύλως ἂν ὁ
σπονδοφόρος οὗτος ὑπ' ἐμοῦ τότε διωκόμενος
ἐξέφυγεν οὐδ' ἂν ἐλαφρῶς ἂν ἀπεπλίξατο.

(ΑΝΤΙΣΤΡΟΦΗ)

νῦν δ' ἐπειδὴ στερρὸν ἤδη τοὐμὸν ἀντικνήμιον,
καὶ παλαιῷ Λαχρατείδῃ τὸ σκέλος βαρύνεται,
οἴχεται. διωκτέος δέ· μὴ γὰρ ἐγχάνοι ποτὲ
μηδέπερ γέροντας ὄντας ἐκφυγὼν Ἀχαρνέας,
ὅστις — ὦ Ζεῦ πάτερ καὶ θεοί — τοῖσιν ἐχθροῖσιν ἐσπείσατο,
οἷσι παρ' ἐμοῦ πόλεμος ἐχθοδοπὸς αὔξεται τῶν ἐμῶν χωρίων·

---

204 Suid. τῇ .... ἔστι δὲ καὶ τοπικὸν ἐπίρρημα. τῇ (τῇ δὲ V) πᾶς ἔπου. — 206 Suid. ξυλλαβεῖν .... ἐὰν μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ᾖ, ἔχθραν καὶ δυσμένειαν παρίστησι τοῦ συλλαμβάνοντος, κακουργίαν δὲ τοῦ συλλαμβανομένου, ὡς νῦν· ξυλλαβεῖν τὸν ἄνδρα. — 208—212 Suid. Φάυλλος .... Ἀρ. Ἀχ. οἴμοι τάλας τῶν ἑτῶν ἐμῶν· (τῶν ἐμῶν BE*V. τῶν ἐμῶν ἑτῶν Med.) Οὐκ ἂν ἐπ' ἐμῆς (ἂν ἐμῆς BE*V) γε ..... ὧδε φαῦλος ὢν (φαύλως ἂν V) ὁ Σπονδ. κτλ. bis ἐλαφρῶς ὧδ' ἀπεπλίξατο. — 209 schol. ἐπ' ἐμῆς νεότητος. — 212 Suid. ἀπεπλίξατο. Ἀρ. Ἀχ. οὐκ ἂν ἐλαφρῶς ἀπεπλίξατο.

Parodos. Siebente Scene. Die Acharner betreten in grosser Bewegung die Orchestra von der rechten Seite her, Steine in den Gewändern.

Chor. (Strophe.)

Folge jeder im Geschwindschritt; jeden, der des Weges kommt,
fraget nach dem Manne sorglich, denn der Staat ist in Gefahr,
fängt er ihn nicht, diesen Frevler. Saget ihr uns, wenn ihr's wisst,
welchen Weg er eingeschlagen, der den Frieden hergebracht.
Fort ist er, weit hinweg schon entfloh'n. Ha verwünscht, wär'
ich nicht schon so alt!
Nicht, da ich ein Jüngling war und mit Ausdauer noch einen
Berg Kohlen trug
und dabei gleichen Schritt mit Phayll laufend hielt, wär'er so
leichten Kaufes über alle Berge mir entkommen, dieser
Friedenskrämer, mir zum Aerger, hätt' ich damals ihn gejagt.

(Gegenstrophe.)

Aber nun, da schon das Schienbein steif zu werden mir beginnt,
und dem alten Lakratides schwer der Schenkel sich bewegt,
konnt' er flieh'n. Doch nachgesetzt, dass er sich nicht berühmen darf,
uns Acharnern, selbst den alten, glücklich noch entwischt zu sein.
Denn er hat, Zeus und du Götterkreis, sich versöhnt mit dem
Erzfeind der Stadt,
den fürwahr aus allen Kräften täglich mehr ich hassen muss, weil
er mein Land verheert.

(Zonaras I 281) Etym. M. 395 14 *Ἀριστοφάνης ἀπεπλίξατο Ἀχαρνεῦσιν.* Gregor. Cor. dial. Ion. 157 *τὸ ἀπεπλίξατο ἀντὶ τοῦ ἀπέφυγε.* Eustath. 1564 50 *καὶ ἀπεπλίξατο, τὸ ἀπέβη, παρὰ τῷ κωμικῷ ἐν Ἀχαρνεῦσι.* — 213 Suid. *στερρὸν ἀντικνήμιον φησὶν Ἀρ. περὶ Λακρατίδου.* — 214 Hesych. *Λακρατίδης. Ἀρ. φησὶ παλαιὸν Λακρατίδην κτλ.* Suid. *Λακρατίδης .... Ἀριστοφάνης παλαιῷ Λακρατίδῃ τὸ σκέλος βαρύνεται.* Phot. 205 1 *Λακρατίδας. τὰ κατεψυγμένα κτλ.*

κοὐκ ἀνήσω πρὶν ἂν σχοῖνος αὐτοῖσιν ἀντεμπαγῶ
ὀξὺς ὀδυνηρὸς ἐπίκωπος, ἵνα
μήποτε πατῶσιν ἔτι τὰς ἐμὰς ἀμπέλους.

ἀλλὰ δεῖ ζητεῖν τὸν ἄνδρα καὶ βλέπειν Βαλλήναδε
καὶ διώκειν γῆν πρὸ γῆς, ἕως ἂν εὑρεθῇ ποτε·
ὡς ἐγὼ βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλήμην λίθοις.

ΔΙΚΑΙΟΠΟΛΙΣ

εὐφημεῖτε εὐφημεῖτε.

ΧΟΡΟΣ

σῖγα πᾶς! ἠκούσατ' ἄνδρες ἆρα τῆς εὐφημίας;
οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν· ἀλλὰ δεῦρο πᾶς
ἐκποδών! θύσων γὰρ ἀνὴρ ὡς ἔοικ' ἐξέρχεται.

ΔΙΚΑΙΟΠΟΛΙΣ

εὐφημεῖτε εὐφημεῖτε.
πρόιθ' ὡς τὸ πρόσθεν ὀλίγον, ἡ κανηφόρος.
ὁ Ξανθίας τὸν φαλλὸν ὀρθὸν στησάτω.
κατάθου τὸ κανοῦν ὦ θύγατερ, ἵν' ἀπαρξώμεθα.

ΘΥΓΑΤΗΡ

ὦ μῆτερ ἀνάδος δεῦρο τὴν ἐτνήρυσιν,
ἵν' ἔτνος καταχέω τουλατῆρος τουτουί.

ΔΙΚΑΙΟΠΟΛΙΣ

καὶ μὴν καλόν γ' ἔστ'. ὦ Διόνυσε δέσποτα,
κεχαρισμένως σοι τήνδε τὴν πομπὴν ἐμὲ
πέμψαντα καὶ θύσαντα μετὰ τῶν οἰκετῶν

---

219 Suid. σχοῖνος ... Ἀριστοφάνης Ἀχ. πρὶν ἂν σχοῖνος αὐτοῖσιν ἀντεμπαγῶ, τουτέστιν κτλ. — σκόλοψ αὐτοῖς καὶ σχοῖνος ἀντεμπαγῶ. παροιμία .... ἵνα μηκέτι πατῶσι τὰς ἀμπέλους τὰς ἐμάς. — 220 Suid. ἐπίκωπος. ξιφήρης. — 221 schol. ἵνα μήποτε πατῶσιν, nachher ἵ. μηκέτι πατῶσι τὰς ἐ. ἀ. — 222 schol. Παλλήναδε, nachher νῦν δὲ διὰ τοῦ β γραπτέον. Suid. Παλληνικὸν βλέπειν. — 224 Suid. (Zon. I 709) ἐμπλείμην. ἀντὶ τοῦ κορεσθείην. Ἀρ. Ἀχ. βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλείμην λ. (schol.) — 226 σίγα schol. —

Eher nicht will ich ruh'n, bis ich als scharfer Dorn diesem Feind
tief in's Fleisch mich gebohrt, dass er d'ran
denkt und nimmermehr auf's neue mir den Weinstock zertritt.

Doch nun gilt's, den Mann zu suchen und ballenisch drein zu schau'n
und von Ort zu Ort zu eilen, bis wir auf der Spur ihm sind.
Denn nach ihm mit Steinen werfen, davon hätt' ich nie genug.

Achte Scene. Chor. Dikaeopolis tritt an der Spitze eines feierlichen Zuges mit einem Opfergefäss in der Hand aus seinem Hause. In dem Zuge dessen Frau, Tochter und Sclaven.

Dikaeopolis.

Still in Andacht! still in Andacht!

Chor.

Schweige jeder! Habt ihr Männer wohl den Andachtsruf gehört?
Der ist's selber, den wir suchen. Doch bei Seite lasst uns schnell
hierher treten, denn er geht, so scheint es, jetzt zum Opfer aus.

(zieht sich an die Wand zwischen Orchestra und Proscenium zurück.)

Dikaeopolis.

Still in Andacht! still in Andacht!
Mehr vor ein wenig komme du, Korbträgerin!
den Phallos richte, Xanthias, grad' in die Höh'!
Den Korb nun senke, Tochter; 's ist zum Opfern Zeit.

Tochter.

Den grossen Löffel, liebe Mutter, reiche mir,
dass ich den Brei jetzt auf den Kuchen füllen kann.

Dikaeopolis.

So ist's in Ordnung. Nun denn, Gott Dionysos, sieh
mit Wohlgefallen auf unsern Zug, den wieder ich
mit meinen Leuten zu deinem Dienst antreten will,

---

227 f. Suid. *ἐκποδών .... Ἀριστοφάνης οὗτος αὐτός ἐ. κτλ.* bis *ἐκποδών.* — 230 Etym. M. 489 23 (von *Gaisford* nicht aufgenommen) **κανηφόρος. παρθένος τὰ κανᾶ μετὰ τῶν λοιβῶν φέρουσα ἐν ταῖς θυσίαις. παρὰ Ἀριστοφάνει.* — 233 Etym. M. 387 5 *ἐτνήρυσις. λέγεται καὶ ζωμήρυσις. Ἀριστοφάνης Ἀχαρνεῦσιν· ὦ μῆτερ ἀνάδος δεῦρο τὴν ἐτνήρυσιν* (Phot. 26 14). Hesych. *ἐτνήρυσις. ἔπαιξεν Ἀριστοφάνης, ἀντὶ τοῦ φάναι τὴν σανίδα* (*Naeke ἀμίδα*) *τὴν ἐτνήρυσιν εἰπών κτλ.* hatte nicht diese Stelle im Auge. fr. inc. CLXVI.

ἀγαγεῖν τυχηρῶς τὰ κατ' ἀγροὺς Διονύσια,
στρατιᾶς ἀπαλλαχθέντα, τὰς σπονδὰς δέ μοι
καλῶς ξυνενεγκεῖν τὰς τριακοντούτιδας.

ἄγ' ὦ θύγατερ ὅπως τὸ κανοῦν καλὴ καλῶς
οἴσεις βλέπουσα θυμβροφάγον. ὡς μακάριος,
ὅστις σ' ὀπύσει κἀκποιήσεται γαλᾶς
σοῦ μηδὲν ἧττους βδεῖν, ἐπειδὰν ὄρθρος ᾖ.
πρόβαινε, κἀν τῷχλῳ φυλάττεσθαι σφόδρα,
μή τις λαθών σου περιτράγῃ τὰ χρυσία.
ὦ Ξανθία, σφῷν δ' ἐστὶν ὀρθὸς ἑκτέος
ὁ φαλλὸς ἐξόπισθε τῆς κανηφόρου.
ἐγὼ δ' ἀκολουθῶν ᾄσομαι τὸ φαλλικόν·
σὺ δ' ὦ γύναι θεῶ μ' ἀπὸ τοῦ τέγους. πρόβα.
Φαλῆς ἑταῖρε Βακχίου ξύγκωμε νυκτοπεριπλάνητε μοιχὲ παι-
δεραστά,
ἕκτῳ σ' ἔτει προσεῖπον ἐς τὸν δῆμον ἐλθὼν ἄσμενος,
σπονδὰς ποιησάμενος ἐμαυτῷ, πραγμάτων τε καὶ μαχῶν
καὶ Λαμάχων ἀπαλλαγείς.
πολλῷ γάρ ἐσθ' ἥδιον, ὦ Φαλῆς Φαλῆς,
κλέπτουσαν εὑρόνθ' ὡρικὴν ὑληφόρον
τὴν Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ φελλέως
μέσην λαβόντ' ἄραντα καταβαλόντα καταγιγαρτίσαι.
Φαλῆς Φαλῆς,
ἐὰν μεθ' ἡμῶν ξυμπίῃς, ἐκ κραιπάλης
ἕωθεν εἰρήνης ὀοφήσει τρύβλιον·
ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται.

---

239 Phot. στρᾶιτάν. συστέλλοντες τὴν δευτέραν συλλαβὴν οὐ μόνον τὸ στράτευμα λέγουσιν, ἀλλὰ καὶ αὐτὴν τὴν στράτευσιν. οὕτως Ἀριστοφάνης. — 241 Poll. X 91 Ἀριστοφάνης δ' ἐν Ἀχαρνεῦσι κανοῦν. — 242 Phryn. Bekk. an. 43 5 θυμβροφάγον βλέπειν. (Hesych. Phot. 96 25 Zon. I 1058.) Suid. θυμβρεπιδείπνου .... θυμβροφάγον δὲ ἤτοι ἀγροικικὸν καὶ ἐλευθέριον κτλ. — 245 f. Suid. πρόβαινε. τοῦτο ὡς ἐπὶ ὄχλου πομπευόντων τινά. — περιτράγῃ ... Ἀριστοφάνης ἔν τ' ὄχλῳ (ἐν τῷχλω Med. κἀν τῷχλωι AV), φυλάττ. σφόδρα, Μή τις κτλ. bis χρυσία. — 249 Hesych. φαλλικόν. — 251 Suid. νυκτιλόχοι ... καὶ νυκτοπεριπλάνητος παρὰ Ἀριστοφάνει. — 252 schol. Pac. 990 τὸ χ, ὅτι οὐ συμφωνεῖ τοῖς χρόνοις, ἃ λέγει. καὶ ἐν τοῖς Ἀχαρνεῦσι φησί· ἕκτῳ σ' ἔτει προσεῖπον εἰς τὰ χωρία. Suid. δῆμος. παρὰ

dass ohne Störung ich dein ländlich Fest begeh'
erlöst vom Kriegesjammer, und dass mein Vertrag
auf dreissig Jahre mir zu wahrem Heile sei.
(zur Tochter gewandt)
Mein schönes Kind, nun trage mir den Korb recht schön
und mach' ein Bitterkleegesicht. Glückselig der,
der dich einst freit und Wieselchen mit dir erzielt,
die in der Früh nicht minder duften als du selbst.
Jetzt vorwärts, und im Gedränge pass nur tüchtig auf,
dass keiner heimlich dir vom Goldschmuck etwa nascht!
Du Xanthias, ihr beide tragt den Phallos ja
hübsch aufrecht und dem Mädchen auf dem Fusse nach!
Euch folgend stimm' ich selber an das Phalloslied,
und du Frau kannst vom Dach uns nachseh'n. Vorwärts marsch!
O Phales, bakchischer Gesell, Nachtjubels Schwarmgenoss und
Freund von schönen Frau'n und Knaben,
sehnsüchtig ruf' im sechsten Jahr auf's Land gekommen ich zu dir,
da Frieden ich für mich gewann, das Schwitzen und Todtmachen los
und die Lamachereien bin.
Denn Phales Phales, viel charmanter ist es doch,
man trifft im kühlen Wald die schlanke Thrakerin
des Strymodoros unbefugt Holz raffend an,
hebt um die Taille sie gefasst, wirft nieder und entblättert sie.
Wenn du mit uns,
o Phales Phales, heute zechst, so schlürfest du
ein Gläschen Frieden morgen, ist der Kopf dir frei;
im Rauchfang aber wird der Schild hübsch aufgehängt.

Ἀριστοφάνει ἡ κώμη ... ἔκτῳ σ' ἔ. πρ. ἐς τὸν δῆμον ἐλθών. — 253—255 Suid. *Λαμάχων ... Ἀριστοφάνης· σπονδὰς κτλ.* bis *ἥδιον.* — *πραγμάτων· πραγμάτων τε καὶ* (πρ. καὶ AVE Med.) *μαχῶν Καὶ Λαμάχων ἀπαλλαγείς.* — 256 ff. Suid. *Θρᾷττα ... Ἀριστοφάνης Στρυμνοδώρου* (Στρομν. V) *Θρᾷτταν.* — *Φελλέα ... Ἀριστοφάνης ... καὶ αὖθις τοῦ Στρυμοδώρου Θρ. ἐκ τ. Φ. Κλέπτουσαν.* — *ὡρικῶς ... Ἀριστοφάνης εὑρόνθ'* (εὕρον A εὕρον Θ' Med.) *ὡρικὴν ὑλοφόρον* (ὑληφόρον Λ) *Μέσην λαβόντ' ἄραντα καταλαβόντα* (καταβαλόντα A) *καταγιγαρτᾶν.* cf. *καταγιγαρτίσαι.* — 258 Phot. 135 6 *καταγιγαρτίσαι. συνουσιάσαι.* — 262 Suid. *φεψάλῳ .... Ἀριστοφάνης ἡ δ' ἀσπὶς* (ἀψὶς A ἀψὶς V) *ἐν τῷ φεψάλῳ κρεμήσεται.* — 260 Phryn. Bekk. an. 45 13 *κραιπάλη.* Hesych. Ammon. p. 85. Suid.

ΧΟΡΟΣ

οὗτος αὐτός ἐστιν, οὗτος·
βάλλε βάλλε βάλλε βάλλε,
παῖε παῖε τὸν μιαρόν·
οὐ βαλεῖς; οὐ βαλεῖς;

ΔΙΚΑΙΟΠΟΛΙΣ (στροφη)

Ἡράκλεις τουτὶ τί ἐστι; τὴν χύτραν συντρίψετε.

ΧΟΡΟΣ

σὲ μὲν οὖν καταλεύσομεν ὦ μιαρὰ κεφαλή.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἀντὶ ποίας αἰτίας ὠχαρνέων γεραίτατοι;

ΧΟΡΟΣ

τοῦτ' ἐρωτᾷς; ἀναίσχυντος εἶ καὶ βδελυρός,
ὦ προδότα τῆς πατρίδος, ὅστις ἡμῶν μόνος
σπεισάμενος εἶτα δύνασαι πρὸς ἔμ' ἀποβλέπειν.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἀντὶ δ' ὧν ἐσπεισάμην οὐκ ἴστε μ'· ἀλλ' ἀκούσατε.

ΧΟΡΟΣ

σοῦ γ' ἀκούσωμεν; ἀπολεῖ. κατά σε χώσομεν τοῖς λίθοις.

ΔΙΚΑΙΟΠΟΛΙΣ

μηδαμῶς πρὶν ἄν γ' ἀκούσητ'· ἀλλ' ἀνάσχεσθ' ὦγαθοί.

ΧΟΡΟΣ

οὐκ ἀνασχήσομαι· μηδὲ λέγε μοι σὺ λόγον·
ὡς μεμίσηκά σε Κλέωνος ἔτι μᾶλλον, ὃν ἐ-
γὼ κατατεμῶ ποθ' ἱππεῦσι καττύματα.
σοῦ δ' ἐγὼ λόγους λέγοντος οὐκ ἀκούσομαι μακρούς,
ὅστις ἐσπείσω Λάκωσιν, ἀλλὰ τιμωρήσομαι.

---

368 Suid. μιαρὰ κεφαλή. — 269 schol. 284 ἕπεται δὲ τοῖς δυσὶ κώλοις στίχος τροχαῖος ὅδε, ἀντὶ ποίας αἰτίας. — 272 schol. 300 ὃν ἐγὼ κατατεμῶ· ἐνταῦθα πάλιν περιττεύει τὸ ποτέ διὰ τὴν μετροποιίαν (nämlich nach ἱππεῦσιν). — ὡς οὖν ἄνω τὸ νῦν περιττεύει, οὕτως ἐνταῦθα τὸ ποτέ. ἔστι γὰρ τοῦ αὐτοῦ μέτρου τὸ κῶλον. — 275 schol.

Neunte Scene. Der Chor eilt aus der Orchestra auf das Proscenium zu und wirft mit Steinen nach Dikaeopolis. Dessen Tochter und Sclaven ergreifen die Flucht.

Chor.

Dieser ist es, ja er ist es;
werft mit Steinen, werft ihn, werfet,
schlagt ihn, schlagt zu Boden den Schelm;
werft die Hirnschal' ihm ein!

Dikaeopolis. (Strophe.)

Herakles! was soll das heissen? ihr zerschlagt mir noch den Topf.

Chor.

Ja dich selber, du Schurke, zu steinigen haben wir vor.

Dikaeopolis.

Und für welch Verbrechen, bitt' ich, sagt, Acharnaes Aelteste.

Chor.

Hört! er fragt noch, der Schuft. Hochverrath übst du ganz
sonder Scham offen aus. Du verträgst mit dem Feind
dich allein und unterfängst dich, mir in's Antlitz noch zu schau'n!

Dikaeopolis.

Doch warum ich Frieden machte, wisst ihr nicht; so hört mich an!

Chor.

Dich noch anhören? sei verflucht! du wirst gesteinigt hier auf dem Fleck.

Dikaeopolis.

Nur nicht, eh' ihr mir Gehör gebt; habt ein wenig doch Geduld!

Chor.

Nein, Geduld kenn' ich nicht, und ich will nicht, dass du redest.
Denn noch mehr hass' ich dich als Kleon, den ich noch einmal
ganz zu Schuhsohlen für die Ritter klein zerschneiden will.
Keine langen Reden will ich von dir hören, sag' ich dir,
der du den Lakonen Freund bist, sondern dich zur Strafe zieh'n.

μηδαμῶς, πρίν γ' ἀκούσητε. — 276 Suid. *οὐκ ἀναστήσομαι.* — 277 f. Suid. *κατατεμῶ σε τοῖς ἱππεῦσιν ἐς καττύματα.* — *κάττυμα ... Ἀριστοφάνης· ὃν ἐγὼ κατατεμῶ τοῖς ἱππεῦσίν ποτε ἐς (ἱππεῦσιν ἐς* BV *ἱππεῦσιν εἰς* AE) *κ.* — 279 Suid. *μακρούς. σοῦ δ' ἐγὼ κτλ.* bis *μακρούς.*

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὠγαθοὶ τοὺς μὲν Λάκωνας ἐκποδὼν ἐάσατε·
τῶν δ' ἐμῶν σπονδῶν ἀκούσατ', εἰ καλῶς ἐσπεισάμην.

ΧΟΡΟΣ

πῶς δ' ἔτ' ἂν καλῶς λέγοις ἄν, εἴπερ ἐσπείσω γ' ἅπαξ
οἷσιν οὔτε βωμὸς οὔτε πίστις οὔθ' ὅρκος μένει;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οἶδ' ἐγὼ καὶ τοὺς Λάκωνας, οἷς ἄγαν ἐγκείμεθα,
οὐχ ἁπάντων ὄντας ἡμῖν αἰτίους τῶν πραγμάτων.

ΧΟΡΟΣ

οὐχ ἁπάντων ὦ πανοῦργε; ταῦτα δὴ τολμᾷς λέγειν
ἐμφανῶς ἤδη πρὸς ἡμᾶς; εἶτ' ἐγώ σου φείσομαι;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὐχ ἁπάντων, οὐχ ἁπάντων· ἀλλ' ἐγὼ λέγων ὀδὶ
πόλλ' ἂν ἀποφήναιμ' ἐκείνους ἔσθ' ἃ κἀδικουμένους.

ΧΟΡΟΣ

τοῦτο τοὔπος δεινὸν ἤδη καὶ ταραξικάρδιον,
εἰ σὺ τολμήσεις ὑπὲρ τῶν πολεμίων ἡμῖν λέγειν.

ΔΙΚΑΙΟΠΟΛΙΣ

κἄν γε μὴ λέξω δίκαια, μηδὲ τῷ πλήθει δοκῶ,
ὑπὲρ ἐπιξήνου θελήσω τὴν κεφαλὴν ἔχων λέγειν.

ΧΟΡΟΣ

εἰπέ μοι τί φειδόμεσθα τῶν λίθων ὦ δημόται,
μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τοῦτον ἐς φοινικίδα;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οἷον αὖ μέλας τις ὑμῖν θυμάλωψ ἐπέξεσεν·
οὐκ ἀκούσεσθ', οὐκ ἀκούσεσθ' ἑτεὸν ὠχαρνηίδαι;

---

285 f. Bekker an. 334 32 (Bachm. I 19 19) ἄγαν ἐγκεῖσθαι τῷδε ... Ἀριστοφάνης ἐν Ἀχαρνεῦσιν οἶδ' ἐγὼ κτλ. bis πραγμάτων. — 291. Suid. ταραξικάρδιον ... τοῦτο τοὔπος κτλ. — 293 f. Suid. ὑπὲρ ἐπιξήνου θελήσω τὴν κεφαλὴν ἔχων λέγειν. ἐὰν μὴ λέγω, φησί, δίκαια, τῆς κεφαλῆς ἀφαιρεθείην. — ἐπίξηνος. Et. M. 362 23 ἐπίξηνον ... παρὰ Ἀριστοφάνει καὶ Δημοσθένει. — 295—297 Suid. φοινικίδα. τί φειδόμεσθα (φειδόμεθα V Med.) τῶν λίθων ὦ (οἱ AE*V)

Dikaeopolis.

Lasst doch die Lakonen, Beste, seid so gut, hier aus dem Spiel,
und von meinem Frieden höret, ob ich wider Recht ihn schloss.

Chor.

Was hast du von Recht zu sprechen, der mit Menschen sich vertrug,
denen nicht Altar und Treue heilig ist und nicht der Eid?

Dikaeopolis.

Weiss ich doch, dass die Lakonen, die uns allzu sehr verhasst,
nicht an allem Elend schuld sind, das uns jetzo niederdrückt.

Chor.

Nicht an allem, Schurke? das zu sagen unterfängst du dich
grad' heraus vor aller Ohren, und dann hoffst du Schonung noch?

Dikaeopolis.

Nicht an allem, nein wahrhaftig! vieles, lasst ihr mich zum Wort,
nenn' ich, was sie nicht verschuldet, ja wo sie beleidigt sind.

Chor.

Beispiellos ist deine Kühnheit und empört mein Innerstes,
dass das Wort den Landesfeinden du vor uns zu reden wagst.

Dikaeopolis.

Sag' ich ungerechtes und gewinne mir die Mehrheit nicht,
Nun so leg' ich auf den Hackblock hier den Kopf und spreche so.

Chor.

Weshalb sparen wir die Steine, Gaugenossen, immer noch,
um die Schultern ihm zu hängen den verdienten Purpurrock?

Dikaeopolis.

Welchen Schauer Kohlenfunken sprüht ihr nun schon wieder aus!
seid ihr denn, Acharnersöhne, wirklich völlig taub und blind?

δημόται, Μὴ οὐ καταξαίνειν (*καταβαίνειν* *V) *τοῦτον ἐς φοινικίδα; Οἷος* (*οἷς* Med.) *αὖ μέλας τις ὑμῖν θαυμάλωψ ἐπέξεσεν* (*ἐπέξεσε θαυμάλωψ* *V). — 296 Suid. *καταξαίνειν εἰς φοινικίδα.* vgl. Phot. 22 22 *ἐς φοινικίδας καταξάναι.* — 297 Hesych. *θυμάλωψ. ἡ λιγνώδης τοῦ πυρὸς ἀναφορά.* vgl. Phot. 96 21 *θυμάλωψ. δαίμων τις οὕτω καλεῖται.*

ΧΟΡΟΣ

οὐκ ἀκουσόμεσθα δῆτα.

ΔΙΚΑΙΟΠΟΛΙΣ

δεινά τἄρα πείσομαι.

ΧΟΡΟΣ

ἐξολοίμην, ἢν ἀκούσω.

ΔΙΚΑΙΟΠΟΛΙΣ

μηδαμῶς ὦχαρνικοί.

ΧΟΡΟΣ

ὡς τεθνήξων ἴσθι νυνί.

ΔΙΚΑΙΟΠΟΛΙΣ

δήξομἄρ' ὑμᾶς ἐγώ.
ἀνταποκτενῶ γὰρ ὑμῶν τῶν φίλων τοὺς φιλτάτους·
ὡς ἔχω γ' ὑμῶν ὁμήρους, οὓς ἀποσφάξω λαβών.

ΧΟΡΟΣ

εἰπέ μοι τί τοῦτ' ἀπειλεῖ τοὔπος, ἄνδρες δημόται,
τοῖς Ἀχαρνικοῖσιν ἡμῖν; μῶν ἔχει του παιδίον
τῶν παρόντων ἔνδον εἴρξας; ἢ 'πὶ τῷ θρασύνεται;

ΔΙΚΑΙΟΠΟΛΙΣ

βάλλετ', εἰ βούλεσθ'· ἐγὼ γὰρ τουτονὶ διαφθερῶ·
εἴσομαι δ' ὑμῶν τάχ' ὅστις ἀνθράκων τι κήδεται.

ΧΟΡΟΣ

ὡς ἀπωλόμεσθ'· ὁ λάρκος δημότης ὅδ' ἐστ' ἐμός.
ἀλλὰ μὴ δράσῃς ὃ μέλλεις, μηδαμῶς ὦ μηδαμῶς.

ΔΙΚΑΙΟΠΟΛΙΣ (ΑΝΤΙΣΤΡΟΦΗ)

ὡς ἀποκτενῶ· κέκραχθ'· ἐγὼ γὰρ οὐκ ἀκούσομαι.

ΧΟΡΟΣ

ἀπολεῖς ἄρ' ὁμήλικα τόνδε φιλανθρακέα;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὐδ' ἐμοῦ λέγοντος ὑμεῖς ἀρτίως ἠκούσατε.

---

309 Phot. 208 20. Hesych. Suid. *λάρκος. ὁ λάρκος δημότης ὅδ' ἐστ' ἐμός.* Harpocratio 119 5 *λάρκος ... κέχρηνται τῷ ὀνόματι ἄλλοι τε καὶ Ἀριστοφάνης Ἀχαρνεῦσιν.* — 310 Suid. *ὦ μηδαμῶς.* — 311

Chor.

Ja, wir wollen nichts mehr hören.

Dikaeopolis.

Ach dann wird mir's schlimm ergeh'n!

Chor.

Hör' ich dich, so will ich sterben.

Dikaeopolis.

Haltet ein, Acharner, noch!

Chor.

Dies ist deine Todesstunde.

Dikaeopolis.

Nun so räch' ich mich an euch;
eurer Lieben Liebste denk' ich umzubringen zum Entgelt,
denn zum Glück noch hab' ich Geiseln, die ich schlachte, glaubt es mir!

Chor.

Welches seltsam Drohwort, liebe Gaugenossen, stiess er aus
gegen uns Acharner? hat er etwa gar von einem hier
drinnen eingesperrt ein Kindlein? oder worauf trotzt er so?

Dikaeopolis.

(ergreift einen Kohlenkorb und droht mit einem Schwerte ihn zu durchbohren.)

Werft nun, wenn ihr Lust habt! dieser stirbt vor euren Augen dann.
Bald werd' ich erkennen, wer von euch den Kohlen zugethan.

Chor.

Weh' uns! ach verloren sind wir, seht den Korb von unserm Gau!
Thue nicht, was du uns drohtest, ach um Himmels willen nicht!

Dikaeopolis. (Gegenstrophe.)

Doch, ich tödt' ihn; schreit nur immer, kein Erbarmen kenn' ich mehr.

Chor.

Ach ermorde mir nicht den Gefährten, den Kohlen so traut!

Dikaeopolis.

Eben habt auch ihr mir nicht Gehör gegeben, da ich bat.

---

schol. 336 *ὡς ἀποκτενῶ κέκραχθε.* — 312 schol. *ἀπολεῖς ἄρα τὸν ἥλικα* (auch zu 284).

ΧΟΡΟΣ

ἀλλὰ νυνὶ λέγ', εἴ σοι δοκεῖ, τόν τε Λαχε-
δαιμόνιον αὐτὸν ὅτι τῷ τρόπῳ σοὐστὶ φίλος·
ὡς τόδε τὸ λαρκίδιον οὐ προδώσω ποτέ.

ΔΙΚΑΙΟΠΟΛΙΣ

τοὺς λίθους νύν μοι χαμᾶξε πρῶτον ἐξεράσατε.

ΧΟΡΟΣ

οὑτοιί σοι χαμαί· καὶ σὺ κατάθου πάλιν τὸ ξίφος.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἀλλ' ὅπως μὴ 'ν τοῖς τρίβωσιν ἐγκάθηνταί που λίθοι.

ΧΟΡΟΣ

ἐκσέσεισται χαμᾶξ'. οὐχ ὁρᾷς σειόμενον;
ἀλλὰ μή μοι πρόφασιν, ἀλλὰ κατάθου τὸ βέλος·
ὡς ὅδε γε σειστὸς ἅμα τῇ στροφῇ γίγνεται.

---

316 schol. 336 τέλος δὲ τῆς πρώτης· οὐ προδώσω ποτέ. Poll. X 111 τάχα δὲ καὶ λάρκους (309) τούτοις προσονομαστέον καὶ λαρκία καὶ λαρκίδια τὰ ἀγγεῖα τῶν ἀνθράκων, Ἀριστοφάνους εἰπόντος ἐν Ἀχαρνεῦσιν. — 317 Suid. ἐξεράσατε τοὺς λίθους. — 318 schol. 284 οὑτοιί

Chor.

Nun so sprich, was du willst, sei es auch, dass von Lake-
daemons Volk Art und Sitte dir besonders wohl gefällt;
denn das liebe Kohlenkörbchen lass' ich um keinen Preis.

Dikaeopolis.

Erst müsst ihr der Kieselsteine sämtlich euch entledigen.

Chor.

So, da werfen wir sie hin; doch nun lege du das Schwert gleichfalls ab!

Dikaeopolis.

Blieben auch nicht in den Kitteln etwa Steine noch zurück?

Chor.

Alle sind völlig leer. Schau' uns an, wie wir schütteln!
Weigre nun dich nicht länger, sondern leg die Waffe fort;
denn du siehst uns im Tanz hier uns schütteln allzumal.

σοι χαμαί. — 319 Suid. *ἐγκάθετος . . . μὴ τοῖς τρίβωσιν ἐγκάθηνται πού λίθοι.* — 322 schol. 336 *τῇ στροφῇ γίνεται.* hier *γράφεται καὶ στρόφιγγι.*

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἐμέλλετ' ἆρ' ἅπαντες ἀνήσειν τῆς βοῆς.
ὀλίγου γ' ἀπέθανον ἄνθρακες παρνήθιοι,
καὶ ταῦτα διὰ τὴν ἀτοπίαν τῶν δημοτῶν.
ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν
ὁ λάρκος ἐνετίλησεν ὥσπερ σηπία.
δεινὸν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι
τὸν θυμὸν ἀνδρῶν, ὥστε βάλλειν καὶ βοᾶν
ἐθέλειν τ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον,
ἐμοῦ θέλοντος ὑπὲρ ἐπιξήνου λέγειν
ὑπὲρ Λακεδαιμονίων ἅπανθ' ὅσ' ἂν λέγω·
καίτοι φιλῶ γε τὴν ἐμὴν ψυχὴν ἐγώ.

ΧΟΡΟΣ (ΣΤΡΟΦΗ)

τί οὖν οὐ λέγεις ἐπίξηνον ἐξενεγκὼν θύραζ',
ὅ τι ποτ' ὦ σχέτλιε τὸ μέγα τοῦτ' ἔχεις;
πάνυ γὰρ ἔμεγε πόθος ὅ τι φρονεῖς ἔχει.
ἀλλ' ἧπερ αὐτὸς τὴν δίκην διωρίσω,
θεὶς δεῦρο τοὐπίξηνον ἐγχείρει λέγειν.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἰδοὺ θέασαι· τὸ μὲν ἐπίξηνον τοδί,
ὁ δ' ἀνὴρ ὁ λέξων οὑτοσὶ τυννουτοσί.
ἀμέλει μὰ τὸν Δί' οὐκ ἐνασπιδώσομαι,

---

323 schol. ἐμέλλετ' ἄρα. — 324 schol. ἄνθρακες παρνάσσιοι. Suid. παρνάσσιοι. ἀντὶ τοῦ μεγάλοι .... Ἀρ. Ἀχ. ὀλίγου (ὀλίγον BE) τ' ἀπέθανον ἄνθρακες (ἄνθρακος *V) παρνάσσιοι. — 326 f. Erotian. p. 254 μαριλῆνοι — ὡς καὶ Ἀριστοφάνης ἐν Ἀχαρνεῦσί φησιν, ὑπὸ τοῦ δ. δ. τ. μ. ἀλοσύχνην Ὁ λ. ἐνετίλησεν ὥ. σ. vgl. Poll. X 111. Phot. 247 19. Zon. I 830 ἐπετίλησεν ... Ἀρ. ἐπετίλησε συχνήν. schol. ὑπὸ τοῦ δέους τῆς μαρίλης. Suid. ἐπετίλησεν ... Ἀριστοφάνης ὃ δὲ τῆς μαρίλης μοι συχνὴν Ὡς ἐπετίλησεν ὥσπερ σηπία (σηπίαν Med.) — λάρκος ... ὑπὸ τοῦ δέους δὲ τ. μ. σ. Ὁ

Dikaeopolis.

So hab' ich endlich euch zum Schweigen denn gebracht.
Fast war es um des Parnes Kohlen schon gescheh'n,
und eure Thorheit trug allein die Schuld davon.
In seiner Todesangst hat gleich dem Tintenfisch
der Korb mit schwarzem Staube reichlich mich beglückt.
Ist's doch ein Graus, wenn Leute so bärbeissig sind,
mit Steinen gleich zu werfen und vor Wuthgeschrei
gar nicht zu hören, was der andre billig spricht,
selbst dann noch, als ich mich erboten auf dem Block
zu reden, was sich zu Spartas Gunsten sagen lässt!
und doch hab' ich mein Leben wahrlich lieb genug.

Chor. (Strophe.)

Weshalb holst du nun den Block nicht und sagst, du seltsamer Mensch,
was so von Wichtigkeit du vorzutragen hast?
nach Aufklärung steht mir lebhaft der Sinn.
Drum wie du des Gerichtes Form dir selbst erwählt,
setz' hier den Block her und versuche dann dein Glück!

Dikaeopolis.

(den Block herausbringend)

So seht denn! dies ist also hier der Hackeblock,
der Redner aber ist meine kleine Wenigkeit.
Ausflüchte, glaubt mir, such' ich nicht — bei'm grossen Zeus!

λάρκος ἐπετίλησεν ὦ. σ. ebenso unter *μαρίλη* (*ἀπὸ* A). — 328—330 Suid. *δεινόν . . . Ἀριστοφάνης· δεινὸν μὲν γὰρ οὕτως κτλ.* bis *φέρον.* — *ὀμφακίαν . . . δ. γὰρ ο. ὀ. πεφυκέναι* (*πεποιθέναι* C) *Τὸν θ. ἀ. ὦ. β. κ. β. Ἐθέλειν δ'* (*τ'* AC) *ἀ. μ. ἴ. ἴ. φέρον.* (*φέρων* C Med) — 337 f. Suid. (Zon. I 1002) *ἤπερ. ἀντὶ τοῦ ὥσπερ. ἀλλ' ἤπερ α. τ. δ. διωρίσω, Θὲς δεῦρο τ. ἐ. λέγειν. Ἀριστοφάνης.* — 339 schol. *ἰδοὺ θεᾶσθε.* — 341 Hesych. *οὐκ ἐνασπιδώσομαι. οὐ καθοπλισθήσομαι.*

λέξω δ' ὑπὲρ Λακεδαιμονίων, ἃ μοι δοκεῖ.
καίτοι δέδοικα πολλά· τούς τε γὰρ τρόπους
τοὺς τῶν ἀγροίκων οἶδα χαίροντας σφόδρα,
ἐάν τις αὐτοὺς εὐλογῇ καὶ τὴν πόλιν
ἀνὴρ ἀλαζὼν καὶ δίκαια κἄδικα·
κἀνταῦθα λανθάνουσ' ἀπεμπολώμενοι·
τῶν τ' αὖ γερόντων οἶδα τὰς ψυχάς, ὅτι
οὐδὲν βλέπουσιν ἄλλο πλὴν ψήφῳ δακεῖν.
αὐτός τ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἄπαθον
ἐπίσταμαι διὰ τὴν πέρυσι κωμῳδίαν.
εἰσελκύσας γάρ μ' ἐς τὸ βουλευτήριον
διέβαλλε καὶ ψευδῆ κατεγλώττιζέ μου
κἀκυκλοβόρει κἄπλυνεν, ὥστ' ὀλίγου πάνυ
ἀπωλόμην μολυνοπραγμονούμενος.
νῦν οὖν με πρῶτον πρὶν λέγειν ἐάσατε
[ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον].

ΧΟΡΟΣ (ΑΝΤΙΣΤΡΟΦΗ)

τί ταῦτα στρέφει, τεχνάζεις τε καὶ πορίζεις τριβάς;
λαβὲ δ' ἐμοῦ γ' ἕνεκα παρ' Ἱερωνύμου
σκοτοδασυπυκνότριχά τιν' Ἄϊδος κυνῆν.
ἀλλ' ἐξάνοιγε μηχανὰς τὰς Σισύφου,
ὡς σκῆψιν ἀγὼν οὗτος οὐκ ἐσδέξεται.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὥρα 'στὶν ἄρα μοι καρτερὰν ψυχὴν λαβεῖν,
καί μοι βαδιστέ' ἐστὶν ὡς Εὐριπίδην.

παῖ παῖ.

---

348 Hesych. ὀμφακίας. πάροξυς. — 350 f. Westermann *Βιογράφοι* 157 37 ὅθεν φησίν, αὐτὸς δ' ἐμαυτὸν ὑπὸ Κλ. ἄττ' ἔπαθον Ἐπίσταμαι δὴ καὶ τὰ ἑξῆς. — 353 Hesych. κατεγλώττιζε. Suid. Phot. καταγλωττίζειν. τὸ βλασφημεῖν, ὡς ἐν Ἀχαρνεῦσι· ψευδῆ κατεγλώττιζέ μου. — 358 schol. 358 ἔχει γὰρ καὶ ἀντίστροφον τὴν τί ταῦτα στρέφεις. (hier στρέφει.) — 359 f. Suid. Ἄϊδος κυνῆ. Ἀριστοφάνης· λάβε

für die Spartaner sag' ich einfach, was mir scheint.
Doch fang' ich an zu fürchten, denn wer wüsste nicht? —
so sind die Bauern, sie haben's leider gar zu gern,
wenn jeder Schwindler sie und ihre Stadt recht lobt
— ob's Recht, ob Unrecht, darauf kommt es gar nicht an —,
und unversehens hat er alle sie im Sack.
Dann weiss ich auch, der alte Athener schwärmt für nichts,
als wie er ein Unglück stiften kann durch Richterspruch.
Und noch im Gedächtniss hab' ich, was für Marter mir
für meine Komödie Kleon vor'ges Jahr gethan.
Er schleppte mich vor den hohen Rath in voller Wuth,
verleumdete mich, liess seiner Zunge freien Lauf
mit Lügen, schäumt' und rast' und zauste mich, dass ich
in diesem schmutzigen Handel fast den kürzern zog.
Vor Anfang meiner Rede lasst, ich bitte sehr,
mich ein Kostüm erst wählen recht elendiglich!

Chor. (Gegenstrophe.)

Was drehst du dich noch und brauchst List auf List und suchst nur Verzug?
So leih' dir meinetwegen von Hieronymos
des Hades Zottelmütze, die unsichtbar macht,
und brauche dann die ganze Kunst des Sisyphos,
denn Schwindelei entscheidet diesen Handel nicht.

Dikaeopolis.

Jetzt heisst es also, muthig die Gefahr besteh'n,
und schnell muss ich zum Hause des Euripides.

(geht auf ein Haus zu.)

Zehnte Scene. Dikaeopolis. Sclaven des Euripides.

Dikaeopolis.
(ruft vor dem Hause des Euripides.)

He Bursch!

δ' ἐμοῦ γ' ἕνεκα π. Ἰ. Σκοτοδασυπυκνότριχα (σκυτοδ. vor *Bernhardy*) τὴν Ἄ. κ. (Paroem. I 15. 186 19. 352 8 II 4 7. 56 10. 104 9. 132 16. 139 23. 261 21.) — 360 Et. M. 719 36 *σκοτοδασυπυκνόθριξ. 361—363 Suid. Σίσυφος. ὄνομα κύριον. Ἀριστοφάνης· ἀλλ' ἐξάν. μ. τ. Σ., Ὡς σκῆψιν ἂν ἀγὼν (σκῆψιν ἀγὼν ABVE Med.) ο. οὐ προσδέξεται, Ὥρα ἐστὶν ἤδη καρτερὰν ψ. λ.

ΘΕΡΑΠΩΝ

τίς οὗτος;

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἔνδον ἔστ' Εὐριπίδης;

ΘΕΡΑΠΩΝ

οὐκ ἔνδον ἔνδον ἐστίν, εἰ γνώμην ἔχεις.

ΔΙΚΑΙΟΠΟΛΙΣ

πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον;

ΘΕΡΑΠΩΝ

ὀρθῶς ὦ γέρον.
ὁ νοῦς μὲν ἔξω ξυλλέγων ἐπύλλια
οὐκ ἔνδον· αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ
τραγῳδίαν.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὦ τρισμακάρι' Εὐριπίδη,
ὅθ' ὁ δοῦλος οὑτωσὶ σοφῶς ὑποκρίνεται.
ἐκκάλεσον αὐτόν.

ΘΕΡΑΠΩΝ

ἀλλ' ἀδύνατον.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἀλλ' ὅμως,
οὐ γὰρ ἂν ἀπέλθοιμ'· ἀλλὰ κόψω τὴν θύραν.

Εὐριπίδη Εὐριπίδιον
ὑπάκουσον, εἴπερ πώποτ' ἀνθρώπων τινί.
Δικαιόπολις καλεῖ σ' ὁ Χολλείδης, ἐγώ.

367—370 Suid. *ἀναβάδην* ... *Ἀριστοφάνης* ... *καὶ αὖθις πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον; Ὁ νοῦς μ. ἔ. συλλέγων ἐ. Οὐκ ἔνδον· αὐτὸς δ' ἔ. ἀ. π. Τραγῳδίαν.* — *αὐτός* ... *καὶ Ἀριστοφάνης· ὁ νοῦς μὲν ἔξω. αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ Τραγῳδίας* (*τραγῳδίαν* AC). — cf. *ἐπύλλια ξυλλέγω.* — 368 *συλλέγον* schol. — 370 schol.

Sklave.
(aus der Thür sehend.)

Wer ist da?

Dikaeopolis.

Ist Euripides daheim?

Sklave.

Er ist daheim und nicht daheim; versteh' nur recht!

Dikaeopolis.

Wie so daheim und doch nicht?

Sklave.

Ganz natürlich, Freund!
Sein Geist, der auswärts Verschen nachgeht, ist nicht daheim,
er selbst daheim, sitzt oben und schreibt mit grossem Fleiss
an einer Tragödie.

Dikaeopolis.

Dreifach sel'ger Euripides,
wenn solche Weisheit schon dein Sklav im Munde führt!
Ruf' ihn heraus!

Sklave.

Das ist unmöglich.

Dikaeopolis.

Dennoch thu's!
Fort geh' ich nicht. So klopf' ich selbst denn an die Thür.

Elfte Scene. Dikaeopolis. Euripides. Ein Sklave desselben.

Dikaeopolis.
(klopft an die Thür.)

Euripides, Herzens-Euripides, o hör mich an,
wenn jemals einen Sterblichen du so hoch beglückt!
Ich, Dikaeopolis ruft dich vom Chollidengau.

τρυγῳδίαν δὲ εἶπεν ἀντὶ τοῦ κωμῳδίαν. — 371 schol. *οὑτοσί.* — 374 Suid. *Εὐριπίδη Εὐριπίδιον.* — 375 Suid. *εἴπερ. ὑπάκουσον, εἴπερ πότ' ἀνθρώπων τινί. λείπει τὸ ὑπήκουσας.* — 376 schol. *Χολλίδης.*

ΕΥΡΙΠΙΔΗΣ

ἀλλ' οὐ σχολή.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἀλλ' ἐκκυκλήθητ'.

ΕΥΡΙΠΙΔΗΣ

ἀλλ' ἀδύνατον.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἀλλ' ὅμως.

ΕΥΡΙΠΙΔΗΣ

ἀλλ' ἐκκυκλήσομαι· καταβαίνειν δ' οὐ σχολή.

ΔΙΚΑΙΟΠΟΛΙΣ

Εὐριπίδη.

ΕΥΡΙΠΙΔΗΣ

τί λέλακας;

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἀναβάδην ποιεῖς,
ἐξὸν καταβάδην; οὐκ ἐτὸς χωλοὺς ποιεῖς.
ἀτὰρ τί τὰ ῥάκι' ἐκ τραγῳδίας ἔχεις,
ἐσθῆτ' ἐλεινήν; οὐκ ἐτὸς πτωχοὺς ποιεῖς.
ἀλλ' ἀντιβολῶ πρὸς τῶν γονάτων σ' Εὐριπίδη,
δός μοι ῥάκιόν τι τοῦ παλαιοῦ δράματος.
δεῖ γάρ με λέξαι τῷ χορῷ ῥῆσιν μακράν·
αὕτη δὲ θάνατον, ἢν κακῶς λέξω, φέρει.

ΕΥΡΙΠΙΔΗΣ

τὰ ποῖα τρύχη; μῶν ἐν οἷς Οἰνεὺς ὁδὶ
ὁ δύσποτμος γεραιὸς ἠγωνίζετο;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὐκ Οἰνέως ἦν, ἀλλ' ἔτ' ἀθλιωτέρου.

---

378 Suid. ἐγκυκλήθητι. — 380 Suid. λέλακας. — 386 Phot. ῥῆσις μακρά. διεξοδικὸς λόγος μακρός. — ῥῆσις. δημηγορία καὶ συμ-

Euripides.
(inwendig.)

Hab' keine Zeit.

Dikaeopolis.

Lass dich herausdreh'n!

Euripides.

Ist unmöglich.

Dikaeopolis.

Dennoch thu's!

Euripides.

Nun meinetwegen, aber herunter komm' ich nicht.

(Enkyklema. Man sieht im Oberstock Euripides, in zerrissene Kleider gehüllt, eifrig studieren, umgeben von Büchern, Garderobestücken und sonstigem tragischem Apparat.)

Dikaeopolis.

Euripides —

Euripides.

Was kündest du?

Dikaeopolis.

Oben dichtest du
statt unten? da sind natürlich deine Helden lahm.
Und selbst bist du mit tragischen Lumpen angethan,
dem Jammerkleid? kein Wunder, dass sie betteln geh'n.
Ich fleh', Euripides, und umfasse deine Knie,
gib einen Fetzen aus jenem alten Drama mir!
denn declamiren soll ich dem Chor ein langes Stück,
und mach' ich's schlecht, so ist's um meinen Hals gescheh'n.

Euripides.

Ja was für Lumpen? die, in denen Oeneus da
einst aufgetreten, der beklagenswerthe Greis?

Dikaeopolis.

Des Oeneus nicht, nein eines noch leidvolleren.

βουλή· καὶ ὅλος ὁ τοῦ ῥήτορος λόγος. οὕτως Ἀριστοφάνης. *Ruhnk.* Timae. 228.

ΕΥΡΙΠΙΔΗΣ

τὰ τοῦ τυφλοῦ Φοίνικος;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὐ Φοίνικος, οὔ·
ἀλλ' ἕτερος ἦν Φοίνικος ἀθλιώτερος.

ΕΥΡΙΠΙΔΗΣ

ποίας ποθ' ἁνὴρ λακίδας αἰτεῖται πέπλων;
ἀλλ' ἢ Φιλοκτήτου τὰ τοῦ πτωχοῦ λέγεις;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὔκ, ἀλλὰ τούτου πολὺ πολὺ πτωχιστέρου.

ΕΥΡΙΠΙΔΗΣ

ἀλλ' ἢ τὰ δυσπινῆ θέλεις πεπλώματα,
ἃ Βελλεροφόντης εἶχ' ὁ χωλὸς οὑτοσί;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὐ Βελλεροφόντης· ἀλλὰ κἀκεῖνος μὲν ἦν
χωλός, προσαιτῶν στωμύλος δεινὸς λέγειν.

ΕΥΡΙΠΙΔΗΣ

οἰδ' ἄνδρα Μυσὸν Τήλεφον.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ναὶ Τήλεφον.
τούτου δὸς ἀντιβολῶ σέ μοι τὰ σπάργανα.

ΕΥΡΙΠΙΔΗΣ

ὦ παῖ δὸς αὐτῷ Τηλέφου ῥακώματα·
κεῖται δ' ἄνωθεν τῶν Θυεστείων ῥακῶν
μεταξὺ τῶν Ἰνοῦς. ἰδοὺ ταυτί, λαβέ.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ,

---

391 Grammat. in append. Etym. Gud. 638 14 *φοίνικος κήρυκος. Ἀριστοφάνης τὰ τυφλοῦ φοίνικος, οὐ φοίνικος· οὔ.* — 393 Suid. *λακίδας πεπλωμάτων* (vgl. 396). *τὰ διερρωγότα ἱμάτια. παρὰ Ἀριστοφάνει.* — 395 Suid. *πτωχίστερος.* — 396 Suid. *δυσπινῆ . . . Ἀριστοφάνης· ἀλλ' ἢ* (ἤδη BC*V Zon. I 582) *τὰ δυσπινῆ θέλεις πεπλώματα;* — 401 Hesych. *σπάργανα. δεσμά, ῥάκη.* — 405 f. Suid.

Euripides.

Etwa des blinden Phoenix?

Dikaeopolis.

Nicht des Phoenix, nein;
ein andrer war's, erbarmenswerther als Phoenix selbst.

Euripides.

Welch ein zerriss'nes Kleid der Mensch nur haben will!
Du meinst den Kittel des Bettlers Philoktet gewiss.

Dikaeopolis.

